24 διὰ τοῦτο ἐστάθη αὐτῷ διαθήκη εἰρήνης
προστατεῖν ἁγίων καὶ λαοῦ αὐτοῦ,
ἵνα αὐτῷ ᾖ καὶ τῷ σπέρματι αὐτοῦ
ἱερωσύνης μεγαλεῖον εἰς τοὺς αἰῶνας.
25 καὶ διαθήκη τῷ Δαυιδ
υἱῷ Ιεσσαι ἐκ φυλῆς Ιουδα
κληρονομία βασιλέως υἱοῦ ἐξ υἱοῦ μόνου·
κληρονομία Ααρων καὶ τῷ σπέρματι αὐτοῦ.
26 δῴη ὑμῖν σοφίαν ἐν καρδίᾳ ὑμῶν
κρίνειν τὸν λαὸν αὐτοῦ ἐν δικαιοσύνῃ,
ἵνα μὴ ἀφανισθῇ τὰ ἀγαθὰ αὐτῶν
καὶ τὴν δόξαν αὐτῶν εἰς γενεὰς αὐτῶν.

46 1 Κραταιὸς ἐν πολέμῳ Ἰησοῦς Ναυη
καὶ διάδοχος Μωυσῆ ἐν προφητείαις,
ὃς ἐγένετο κατὰ τὸ ὄνομα αὐτοῦ
μέγας ἐπὶ σωτηρίᾳ ἐκλεκτῶν αὐτοῦ
ἐκδικῆσαι ἐπεγειρομένους ἐχθρούς,
ὅπως κατακληρονομήσῃ τὸν Ισραηλ.
2 ὡς ἐδοξάσθη ἐν τῷ ἐπᾶραι χεῖρας αὐτοῦ
καὶ ἐν τῷ ἐκτεῖναι ῥομφαίαν ἐπὶ πόλεις.
3 τίς πρότερος αὐτοῦ οὕτως ἔστη;
τοὺς γὰρ πολέμους κυρίου αὐτὸς ἐπήγαγεν.
4 οὐχὶ ἐν χειρὶ αὐτοῦ ἐνεποδίσθη ὁ ἥλιος
καὶ μία ἡμέρα ἐγενήθη πρὸς δύο;
5 ἐπεκαλέσατο τὸν ὕψιστον δυνάστην
ἐν τῷ θλῖψαι αὐτὸν ἐχθροὺς κυκλόθεν,
καὶ ἐπήκουσεν αὐτοῦ μέγας κύριος
ἐν λίθοις χαλάζης δυνάμεως κραταιᾶς·
6 κατέρραξεν ἐπ᾽ ἔθνος πόλεμον
καὶ ἐν καταβάσει ἀπώλεσεν ἀνθεστηκότας,
ἵνα γνῶσιν ἔθνη πανοπλίαν αὐτοῦ
ὅτι ἐναντίον κυρίου ὁ πόλεμος αὐτοῦ.
7 Καὶ γὰρ ἐπηκολούθησεν ὀπίσω δυνάστου
καὶ ἐν ἡμέραις Μωυσέως ἐποίησεν ἔλεος
αὐτὸς καὶ Χαλεβ υἱὸς Ιεφοννη

24[2] προστατειν pau.] -την BSA | λαου S[c] mu.] λαω BS*A || 25[1] διαθηκη pau.] -κην rel. | τω > S† | 25[2] ιεσσαι > BS* | 25[3] υιου ult.] ιουδα S[c]† | 25[4] ααρων] αυτων S†, αυτω A || 26[4] γενεαν SA

46 1[1] πολεμοις B | ναυη] pr. υιος A, pr. ο S*†, pr. ο του S[c]† | 1[6] κατακληρ.] κατα > B† || 2[2] εν > BS*(†) | εκκλειναι B† || 3[1] προτερον B | 3[2] πολεμους S[c]] -μιους BS*A | κυριου AS[c]] -ος BS* | απηγαγεν A† || 4[1] ενεποδισθη A(†)] -σεν S*; ανεποδισεν BS[c]: ex 48 23 || 5[1] υψ.] pr. κυριον S† | 5[3] αυτων B† | 5[4] εν > SA || 6[3] αυτου] -των BV†, > S*† || 7[3] ουτος S†